## Προοίμιον
### πρὸς τὸν ἀναγιγνώσκοντα. *)

Παρέχω σοι, ὦ φίλε, μικράν τινα ἀνθολογίαν, εἴ γε βέλει ἀναγιγνώσκειν. Ἔνεςι δὲ καὶ ἐπιγράμματα καὶ ἀνακρεοντικὰ καὶ ψυλλιὰς καὶ ἀνθρωπομυομαχία, κ. τ. λ.

Τὰ μὲν οὖν ἐπιγράμματά ἐςιν ἐρωτικὰ καὶ σατυρικὰ καὶ ἄλλε γένες, ὧν τὰ πλεῖςα παντελῶς δοκεῖ ἁπλᾶ εἶναι καὶ ἐμοὶ καὶ ἄλλοις τισίν, οἳ ἀνέγνωσαν. Ἐὰν δέ τινα εὕρῃς ὄντα ἀσαφέςερα, ἐκκλείειν ταῦτ' ὐκ ἐβελόμην τῦτ' εἰδώς, ὅτι πολλάκις πολλοῖς τερπνότερόν ἐςι, πονήσαντας διαπράξασθαί τι, ἢ ἄνευ πόνε εὑρεῖν. Ἐὰν δέ τις νομίζῃ, ὅτι ἠράσθην ποιησάμενος ἐρωτικά, ἢ ὅτι ὑβρίζειν τινὰ ἐνεθυμήθην συντάξας σατυρικά, σφόδρα ἂν ὗτος ἀφαμάρτοι τῆς ἀληθείας· καὶ γὰρ ὐκ αὐτὸς ἐποίησα, ἀλλ' ἡ Μῦσα ἔδωκεν.

Τὰ δὲ ἀνακρεοντικὰ ὐδὲν ὐδέποτε δεῖ ἔχειν, πλὴν οἴνε καὶ ἔρωτος καὶ ἔαρος, καίπερ ἔγωγε τῦ μὲν ἔαρος ἐρῶ ὡς μάλιςα, τῦ δ' ἔρωτος ὅσον ὅσον, τῦ δ' οἴνε (ἅπερ κελευσάντων τῶν ἰατρῶν) ἀπέχομαι παντελῶς.

Ὅτι δὲ ὐκ ἀγαπήσας συντάξαι ἀνθρωπομυομαχίαν προςεθέμην καὶ ψυλλιάδα, τῦτο λεκτέον. Κατ-

---

*) Zur ersten Auflage.

ιδὼν γάρ, ὅτι πάντα, ὅσα ζῇ ἐπὶ τῇ γῇ, ἀρετάς τινας ἔχει καὶ ἀγαθά, ἕκαςον τȣ̃ ἰδίȣ ἄξιον ἐπαίνȣ ἡγησάμην. Καὶ τȣ̀ς μὲν ȣ̃ν ἀνθρώπȣς καὶ λέοντας καὶ ἵππȣς καὶ κύνας καὶ τέττιγας καὶ ἀετȣ̀ς καὶ μελίσσας καὶ πελειάδας καὶ ἄλλα πολλὰ ἑώρων τυχόντα τȣ̃ δέοντος· τὰς δὲ ψύλλας ἐπῄνεσε τῶν μὲν παλαιῶν ȣ̓δείς, τῶν δὲ νεωτέρων, ὅσον οἶδα μὲν ἔγωγε, ὀλίγοι δήπου, εἴπερ τινές. Διόπερ αὐτός ἠξίωσα καὶ παρεσκευασάμην, ὑμνεῖν τȣ̃το τὸ γένος καὶ γράφειν αὐτῶν τὴν δίαιταν καὶ ἀνδρειότητα καὶ θρήνους καὶ νίκας κ. τ. λ. Ταῦτα δέ πάντα ȣ̓κ ἐποιησάμην, ἵνα προσάγωμαι αὐτάς, ἀλλὰ μὴ τὴν τῶν ἀνθρώπων διαφημίζωσιν ἀδικίαν καὶ δὴ καὶ ἵνα διάγειν ἐμὲ ἐν ἡσυχίᾳ ἐῶσι δι᾽ εὔνοιαν.

Καὶ ταῦτα μὲν ȣ̃ν περὶ τȣ́τȣ ἱκανά σοι, ὦ φίλε, εἴη.

Τὸ δὲ λοιπὸν εὖ οἶδα μὲν ἔγωγε, ὅτι δυσχερῆ τινα πλȣ̃ν καὶ ὀδύσσειον, ὡς εἰπεῖν, ἐπεχείρησε ταῦτα τὰ ποιημάτια καὶ πλήρη Σκυλλῶν τε καὶ Χαρύβδεων· ἀλλὰ τολμητέον· ἀγαθὸν γὰρ κεκτήμεθα κυβερνήτην, ᾧ ἀπηρξάμεθα τὸ βιβλίον *), καὶ πρὸς τȣ́τῳ προςηυξάμεθα τοῖς τῶν πλεόντων βοηθοῖς, Κάςορί τε καὶ Πολυδείκει, ἵνα μὴ καταποντίζεσθαι ἐῶσι τὸ πλοῖον, ὅπερ πολλοῖς ἴσμεν συμβεβηκέναι — τοῖς μὴ προςευξαμένοις.

E.

---

*) Die erste Ausgabe ist Ludwig Uhland, meinem damaligen Lehrer, zugeeignet.